11 θαρσεῖ ἐπ᾽ αὐτῇ ἡ καρδία τοῦ ἀνδρὸς αὐτῆς,
ἡ τοιαύτη καλῶν σκύλων οὐκ ἀπορήσει·
12 ἐνεργεῖ γὰρ τῷ ἀνδρὶ ἀγαθὰ πάντα τὸν βίον.
13 μηρυομένη ἔρια καὶ λίνον ἐποίησεν εὔχρηστον ταῖς χερσὶν αὐτῆς.
14 ἐγένετο ὡσεὶ ναῦς ἐμπορευομένη μακρόθεν,
συνάγει δὲ αὕτη τὸν βίον.
15 καὶ ἀνίσταται ἐκ νυκτῶν
καὶ ἔδωκεν βρώματα τῷ οἴκῳ
καὶ ἔργα ταῖς θεραπαίναις.
16 θεωρήσασα γεώργιον ἐπρίατο,
ἀπὸ δὲ καρπῶν χειρῶν αὐτῆς κατεφύτευσεν κτῆμα.
17 ἀναζωσαμένη ἰσχυρῶς τὴν ὀσφὺν αὐτῆς
ἤρεισεν τοὺς βραχίονας αὐτῆς εἰς ἔργον.
18 ἐγεύσατο ὅτι καλόν ἐστιν τὸ ἐργάζεσθαι,
καὶ οὐκ ἀποσβέννυται ὅλην τὴν νύκτα ὁ λύχνος αὐτῆς.
19 τοὺς πήχεις αὐτῆς ἐκτείνει ἐπὶ τὰ συμφέροντα,
τὰς δὲ χεῖρας αὐτῆς ἐρείδει εἰς ἄτρακτον.
20 χεῖρας δὲ αὐτῆς διήνοιξεν πένητι,
καρπὸν δὲ ἐξέτεινεν πτωχῷ.
21 οὐ φροντίζει τῶν ἐν οἴκῳ ὁ ἀνὴρ αὐτῆς, ὅταν που χρονίζῃ·
πάντες γὰρ οἱ παρ᾽ αὐτῆς ἐνδιδύσκονται.
22 δισσὰς χλαίνας ἐποίησεν τῷ ἀνδρὶ αὐτῆς,
ἐκ δὲ βύσσου καὶ πορφύρας ἑαυτῇ ἐνδύματα.
23 περίβλεπτος δὲ γίνεται ἐν πύλαις ὁ ἀνὴρ αὐτῆς,
ἡνίκα ἂν καθίσῃ ἐν συνεδρίῳ μετὰ τῶν γερόντων κατοίκων τῆς γῆς.
24 σινδόνας ἐποίησεν καὶ ἀπέδοτο,
περιζώματα δὲ τοῖς Χαναναίοις.
25 στόμα αὐτῆς διήνοιξεν προσεχόντως καὶ ἐννόμως
καὶ τάξιν ἐστείλατο τῇ γλώσσῃ αὐτῆς.
26 ἰσχὺν καὶ εὐπρέπειαν ἐνεδύσατο
καὶ εὐφράνθη ἐν ἡμέραις ἐσχάταις.

$11^1$ θαρρει S | επ αυτην SA || 12 αγαθα] αγαθον και ου κακον A || 13 ευχρηστα A pl. || $14^1$ εγεν.] + δε A† | ωσει] ως η S*† | $14^2$ αυτη B†] εαυτη S*†, αυτης A, εαυτης $S^c$ | βιον] πλουτον $AS^c$ || $15^1$ cum $14^2$ iungunt BSA || $18^1$ εγευσ.] pr. και BS†, + δε A† | $18^2$ ολην τ. νυκτα / ο λυχν. αυτης] tr. B || 19 τους πηχεις ../.. τας .. χειρας] tr. A; $S^c$ τας χειρας pro τους πηχεις, sed $19^2$ τας χειρας intactum reliquit | $19^2$ ερειδει] εριζει S†: cf. 29 23 | αδρακτον SV† || $20^2$ καρπον: cf. Ps. 127 2 || $22^2$ δε > S || $23^1$ πυλαις] ρυμαις S† | $23^2$ γεροντων κατοικων] πρεσβυτερων $AB^cS^c$ || $24^1$] + τοις φοινιξιν $S^c$ mu. | $24^2$ δε > B† || 25 / 26] tr. A = 𝔐: in hoc carmine alphabetico 𝔐 hab. literam ע ante פ, 𝔊 inuenit פ ante ע, cf. Thr. 2—4: cf. etiam $28^1$